*ἐν τροπικοῖς εἶναι ζῳδίοις· τούτου γὰρ γενομένου παλιντροπία ἔσται*
*τῆς καταρχῆς ὕστερον, διὸ καὶ πάλιν ἄλλως διαθήσεται καὶ οὐ μὴ*
*δηλονότι τελευτήσει ἐπὶ τῇ πρώτῃ διαθήκῃ. ἔστω δὲ πρὸς τούτοις* 2
*ἡ Σελήνη καὶ αὐξιφωτοῦσα καὶ τῷ πλάτει ὑψουμένη καὶ τοῖς κατὰ μῆ-*
*κος ἀριθμοῖς ἀφαιροῦσα καί τινι ἀστέρι συνάπτουσα στηριγμὸν ἔχοντι*
*καὶ μηδὲ ὕπαυγος ἔστω· καὶ γὰρ ὑπαύγου αὐτῆς οὔσης ὁ διαθέμενος*
*ταχέως τελευτήσει. τὸν δὲ Ἄρεα δεῖ παραφυλάττεσθαι ἀναγκαίως ἵνα* 3
*μήτε ὡροσκοπῇ μήτε σὺν τῇ Σελήνῃ μήτε τετραγωνίζῃ αὐτὴν μήτε*
*διαμετρῇ· οὕτω γὰρ οὐ μόνον ὁ διαθέμενος τελευτήσει, ἀλλὰ καὶ ἡ*
*διαθήκη ἀφανισθήσεται ἤτοι κλαπεῖσα ἢ ἑτέρας ψευδοῦς ἀντ᾽ αὐτῆς*
*ὑποληφθείσης. ὁ δὲ Ἑρμῆς κακωθεὶς ἤτοι συνὼν τοῖς κακοποιοῖς ἢ* 4
*σχηματιζόμενος ὑπ᾽ αὐτῶν δόλων αἴτιος γίνεται καὶ ἀμφισβητήσεων.*
*ἐὰν δὲ Κρόνος ὡροσκοπῇ ὁ μὲν θάνατος μετὰ χρόνον συμβήσεται, ἡ* 5
*δὲ διαθήκη κυρωθήσεται. ἐὰν δὲ Ζεὺς ἢ Ἀφροδίτη ὡροσκοπῇ ποιήσει* 6
*τὸν διαθέμενον μὴ τελευτήσαντα διαθέσθαι πάλιν.*

V 43, 2–8. Heph. III 16, 11–17 ad V 9, 1–43, 8 cit.

Appendix I: Fragmentum e Firmici Materni *Μαθήσεως* libro II 29, 2 (II 29, 2–9 = fr. 61 Stegemann) haustum

Antiscia Graecorum sunt nobis magisterio tradita; nam nolo aliquis suspicetur, quod non sit apud Graecos ipse tractatus; nam et Ptolomaeus nullam aliam rationem sequitur nisi antisciorum, et Antiochus, cum dicit, quod enim Libra Arietem propter terram quae media est non videat, quasi per speculum quidem antisciorum rationem attigit; Dorotheus vero Sidonius, vir prudentissimus et qui apotelesmata verissimis et disertissimis versibus scripsit, antisciorum rationem manifestis sententiis explicavit, in libro scilicet quarto.

Vide etiam App. II E.

Appendix II: Fragmenta e Hephaestionis *Ἀποτελεσματικῶν* libris hausta

II A. Hephaestionis I 1, 5; 25; 44; 63; 83; 102; 121; 141; 160; 180 (fr. 9a Stegemann); 199; 218

(♈) 5 *Τούτῳ δὲ ὑπόκειται*

*ἀρχαίη Βαβυλών, Τυρίου Βήλοιο πόλισμα,*
*ὕστατα δ᾽ Ἀρραβίη, γείτων χθονὸς Αἰγύπτοιο.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id405387024/271 UNIVERSITÄT LEIPZIG